λεμεῖν. [47]καὶ ἐκάλεσεν ὁ βασιλεὺς τοὺς Ιουδαίους ἐπὶ βοήθειαν, 47
καὶ ἐπισυνήχθησαν πρὸς αὐτὸν πάντες ἅμα καὶ διεσπάρησαν ἐν
τῇ πόλει καὶ ἀπέκτειναν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ εἰς μυριάδας δέκα·
[48]καὶ ἐνεπύρισαν τὴν πόλιν καὶ ἔλαβον σκῦλα πολλὰ ἐν ἐκείνῃ τῇ 48
ἡμέρᾳ καὶ ἔσωσαν τὸν βασιλέα. [49]καὶ εἶδον οἱ ἀπὸ τῆς πόλεως 49
ὅτι κατεκράτησαν οἱ Ιουδαῖοι τῆς πόλεως ὡς ἠβούλοντο, καὶ ἠσθέ-
νησαν ταῖς διανοίαις αὐτῶν καὶ ἐκέκραξαν πρὸς τὸν βασιλέα μετὰ
δεήσεως λέγοντες [50]Δὸς ἡμῖν δεξιὰς καὶ παυσάσθωσαν οἱ Ιουδαῖοι 50
πολεμοῦντες ἡμᾶς καὶ τὴν πόλιν. [51]καὶ ἔρριψαν τὰ ὅπλα καὶ ἐποί- 51
ησαν εἰρήνην. καὶ ἐδοξάσθησαν οἱ Ιουδαῖοι ἐναντίον τοῦ βασιλέως
καὶ ἐνώπιον πάντων τῶν ἐν τῇ βασιλείᾳ αὐτοῦ καὶ ἐπέστρεψαν
εἰς Ιερουσαλημ ἔχοντες σκῦλα πολλά. [52]καὶ ἐκάθισεν Δημήτριος ὁ 52
βασιλεὺς ἐπὶ θρόνου τῆς βασιλείας αὐτοῦ, καὶ ἡσύχασεν ἡ γῆ
ἐνώπιον αὐτοῦ. [53]καὶ ἐψεύσατο πάντα, ὅσα εἶπεν, καὶ ἠλλοτριώθη 53
τῷ Ιωναθαν καὶ οὐκ ἀνταπέδωκεν τὰς εὐνοίας, ἃς ἀνταπέδωκεν
αὐτῷ, καὶ ἔθλιβεν αὐτὸν σφόδρα.
[54]Μετὰ δὲ ταῦτα ἀπέστρεψεν Τρύφων καὶ Ἀντίοχος μετ᾽ αὐτοῦ 54
παιδάριον νεώτερον· καὶ ἐβασίλευσεν καὶ ἐπέθετο διάδημα. [55]καὶ 55
ἐπισυνήχθησαν πρὸς αὐτὸν πᾶσαι αἱ δυνάμεις, ἃς ἀπεσκοράκισεν
Δημήτριος, καὶ ἐπολέμησαν πρὸς αὐτόν, καὶ ἔφυγεν καὶ ἐτροπώθη.
[56]καὶ ἔλαβεν Τρύφων τὰ θηρία καὶ κατεκράτησεν τῆς Ἀντιοχείας. 56
[57]καὶ ἔγραψεν Ἀντίοχος ὁ νεώτερος Ιωναθη λέγων Ἵστημί σοι 57
τὴν ἀρχιερωσύνην καὶ καθίστημί σε ἐπὶ τῶν τεσσάρων νομῶν
καὶ εἶναί σε τῶν φίλων τοῦ βασιλέως. [58]καὶ ἀπέστειλεν αὐτῷ χρυ- 58
σώματα καὶ διακονίαν καὶ ἔδωκεν αὐτῷ ἐξουσίαν πίνειν ἐν χρυ-
σώμασιν καὶ εἶναι ἐν πορφύρᾳ καὶ ἔχειν πόρπην χρυσῆν· [59]καὶ 59
Σιμωνα τὸν ἀδελφὸν αὐτοῦ κατέστησεν στρατηγὸν ἀπὸ τῆς κλί-
μακος Τύρου ἕως τῶν ὁρίων Αἰγύπτου. [60]καὶ ἐξῆλθεν Ιωναθαν καὶ 60
διεπορεύετο πέραν τοῦ ποταμοῦ καὶ ἐν ταῖς πόλεσιν, καὶ ἠθροί-
σθησαν πρὸς αὐτὸν πᾶσα δύναμις Συρίας εἰς συμμαχίαν· καὶ
ἦλθεν εἰς Ἀσκαλῶνα, καὶ ἀπήντησαν αὐτῷ οἱ ἐκ τῆς πόλεως ἐν-
δόξως. [61]καὶ ἀπῆλθεν ἐκεῖθεν εἰς Γάζαν, καὶ ἀπέκλεισαν οἱ ἀπὸ 61
Γάζης, καὶ περιεκάθισεν περὶ αὐτὴν καὶ ἐνεπύρισεν τὰ περιπόλια

47 προς αυτον / παντες] tr. S(†) | απεκτειναν SVpau. La] + εν τη πολει rel.: ex praec. repet. || 49 ως ηβουλ. > S*† | εκεκραξαν] εκρατησαν S*†, εκραξαν S[c] || 50 δεξιας] -αν SVLa†: cf. 6 58 || 51 παντων > S*† | εν τη βασ. αυτου] + και ωνομασθησαν εν τη βασιλεια αυτου S*La† | επεστρεψαν] -ψεν S*† || 52 δημητρ. / ο βασ.] tr. A† || 53 εψευσατο] εσπευσ. S*† | ηλλοτριωθη τω] -θησαν S*† | ανταπεδωκεν 1°] αντ > S†, 1° ⌒ 2° Spau. | εθλιψεν A || 54 αντιοχος] + και S† || 55 επισυνηχθησαν] ηχθ > S*† | απεσκορακ. compl.] επ. SA | επολεμησαν] -σεν S | ετροπωθη] + σαν S† || 56 της SV†] > rel. || 57 ιωναθη compl. (cf. 2 5)] -θα A, -θαν S(pr. τω S[c]*L*) | και ult. > S*† || 60 πασα δυναμις SV*L*] πασαι αι -μεις Amu.